§. χνή. Ἔτι τὰ εἰς ων, παραλήγοντα τῷ υ, ὀξύτονα μὲν ὄντα, συςέλλεται· Ἀμφικτυὼν, ἀλεκτρυὼν· Παροξύτονα δὲ, ȣ̃, Ἀμφιτρίων, ἠλεκτρύων.

§. χνθ΄. Καὶ ὅλως τὰ εἰς ων καθαροκατάληκτα, ἢν μακρῷ παραλήγῃ διχρόνῳ, εἰς τὸ βραχὺ μεταβάλλει Ἰξίονος. καὶ Περικτίων δὲ, Περικτίονος, καί τοι βραχείᾳ παραλῆγον. τὰ δὲ βραχυπαραληκτȣ̃ντα, τὸ μακρὸν σώζει. Εὐρυτίωνος.

§ χξ΄. Ἔτι τὰ εἰς ων καθαρὸν βαρύτονα, τὸ α παραλήγοντα, συςέλλεται. Ποσειδάονος, Μαχάονος.

§. χξά. Ἔτι τὰ παραλήγοντα τῷ η εἴτε ὀξύτονα, εἴτε παροξύτονα, μεταβάλλει. Σαρπηδὼν Παιήων.

§. χξβ΄. Ἔτι τὰ Συγκριτικὰ παντα, μεταβάλλει εἰς τὸ βραχύ. κρείττονος, βελτίονος.

§. χξγ΄. Καὶ τὰ Ἐθνικά. Πλὴν τȣ̃ Καύκων, μάλων, λάκων.

§. χξδ΄. Καὶ τὰ δύο σύμφωνα διάφορα ἔχοντα. Λυκόφρων, ἐνοσίχθων.

Περὶ τῶν εἰς ωρ.

§. χζέ. Τῶν δὲ εἰς ωρ βαρυτόνων, ὅσα μὲν ἔχει τὸ λ, ἢ τὸ μ, ἐσχατοσυλλαβȣ̃ν, μακρὸν αὐτὸ φυλάττει τὸ ω, καὶ ἐπὶ τῆς Γενικῆς· ἔλωρος, τέκμωρος. ὅσα δὲ μὴ, εἰς τὸ βραχὺ τρέποντα κλίνεται· Νέςορος.

Περὶ τῶν εἰς ως

§ χξς΄. Ἔτι τὰ εἰς ως, ἢ τῷ καθαρῷ κλινόμενα, ἢ τῷ τ, τὸ μακρὸν σώζει. ἥρωος, ἱδρῶτος.